διssàς στολάς, τῷ δὲ Βενιαμιν ἔδωκεν τριακοσίους χρυσοῦς καὶ
23 πέντε ἐξαλλασσούσας στολάς, [23]καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλεν
κατὰ τὰ αὐτὰ καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων τῶν ἀγαθῶν
Αἰγύπτου καὶ δέκα ἡμιόνους αἰρούσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς
24 ὁδόν. [24]ἐξαπέστειλεν δὲ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἐπορεύθησαν·
καὶ εἶπεν αὐτοῖς Μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.
25 [25]Καὶ ἀνέβησαν ἐξ Αἰγύπτου καὶ ἦλθον εἰς γῆν Χανααν πρὸς
26 Ιακωβ τὸν πατέρα αὐτῶν [26]καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες ὅτι Ὁ
υἱός σου Ιωσηφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ
27 ἐξέστη ἡ διάνοια Ιακωβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. [27]ἐλάλησαν
δὲ αὐτῷ πάντα τὰ ῥηθέντα ὑπὸ Ιωσηφ, ὅσα εἶπεν αὐτοῖς. ἰδὼν
δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ιωσηφ ὥστε ἀναλαβεῖν αὐτόν, ἀνε-
28 ζωπύρησεν τὸ πνεῦμα Ιακωβ τοῦ πατρὸς αὐτῶν. [28]εἶπεν δὲ Ισραηλ
Μέγα μοί ἐστιν, εἰ ἔτι Ιωσηφ ὁ υἱός μου ζῇ· πορευθεὶς ὄψομαι
αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με.
46 [1]Ἀπάρας δὲ Ισραηλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ
φρέαρ τοῦ ὅρκου καὶ ἔθυσεν θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ
2 Ισαακ. [2]εἶπεν δὲ ὁ θεὸς Ισραηλ ἐν ὁράματι τῆς νυκτὸς εἴπας
3 Ιακωβ, Ιακωβ. ὁ δὲ εἶπεν Τί ἐστιν; [3]λέγων Ἐγώ εἰμι ὁ θεὸς τῶν
πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος
4 μέγα ποιήσω σε ἐκεῖ, [4]καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον,
καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ιωσηφ ἐπιβαλεῖ τὰς χεῖρας
5 ἐπὶ τοὺς ὀφθαλμούς σου. [5]ἀνέστη δὲ Ιακωβ ἀπὸ τοῦ φρέατος
τοῦ ὅρκου, καὶ ἀνέλαβον οἱ υἱοὶ Ισραηλ τὸν πατέρα αὐτῶν καὶ
τὴν ἀποσκευὴν καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας, ἃς ἀπέ-
6 στειλεν Ιωσηφ ἆραι αὐτόν, [6]καὶ ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν
καὶ πᾶσαν τὴν κτῆσιν, ἣν ἐκτήσαντο ἐν γῇ Χανααν, εἰσῆλθον εἰς
7 Αἴγυπτον, Ιακωβ καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ᾽ αὐτοῦ, [7]υἱοὶ καὶ
οἱ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ, θυγατέρες καὶ θυγατέρες τῶν
υἱῶν αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.
8 [8]Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ισραηλ τῶν εἰσελθόντων εἰς
Αἴγυπτον. Ιακωβ καὶ οἱ υἱοὶ αὐτοῦ· πρωτότοκος Ιακωβ Ρουβην.
9 10 [9]υἱοὶ δὲ Ρουβην· Ενωχ καὶ Φαλλους, Ασρων καὶ Χαρμι. [10]υἱοὶ δὲ
Συμεων· Ιεμουηλ καὶ Ιαμιν και Αωδ καὶ Ιαχιν καὶ Σααρ καὶ Σαουλ
11 υἱὸς τῆς Χανανίτιδος. [11]υἱοὶ δὲ Λευι· Γηρσων, Κααθ καὶ Μεραρι.
12 [12]υἱοὶ δὲ Ιουδα· Ηρ καὶ Αυναν καὶ Σηλωμ καὶ Φαρες καὶ Ζαρα·

22 τω δε] και τω A† | αλλασσουσας A† || 26 οτι] ετι Gra. | αυτος M] ουτος A | γης M] pr. της A

46 1 ηλθεν M] -θον A | εθυσεν] + εκει A† || 4 χειρας] + σου A† || 6 εν γη M] εκ γης A | εισηλθον εις αιγ. ιακωβ mu.] και εισηλθεν ιακ. εις αιγ. A || 7 αυτου 3⁰ M] + μετ αυτου A || 9 φαλλουδ A || 10 ιαχιν M] ιαχειμ A | σαουλ] σαμουηλ A†